UNIVERSITY OF CAMBRIDGE

# CLASSICAL TRIPOS Part I

Thursday 5 June 2003 9 to 12

Paper 1

PASSAGES FOR TRANSLATION FROM GREEK AUTHORS

*Answer* **all** *the questions.*

*Use a separate booklet for* **each** *Section.*

**The Examiners will give equal weight to each Section.**

*Write your* **number** (**not** *your name*) *on the cover-sheet of* **each** *Section booklet.*

**It is important to write good English.**

**You may not start to read the questions printed on the subsequent pages of this question paper until instructed that you may do so by the Invigilator**

## SECTION A

*Translate:*

### A1 *The Argives are anxious to make an alliance with Sparta*

ἅμα δὲ τῷ ἦρι εὐθὺς τοῦ ἐπιγιγνομένου θέρους οἱ Ἀργεῖοι, ὡς οἵ τε πρέσβεις τῶν Βοιωτῶν οὓς ἔφασαν πέμψειν οὐχ ἧκον τό τε Πάνακτον ᾔσθοντο καθαιρούμενον καὶ ξυμμαχίαν ἰδίαν γεγενημένην τοῖς Βοιωτοῖς πρὸς τοὺς Λακεδαιμονίους, ἔδεισαν μὴ μονωθῶσι καὶ ἐς Λακεδαιμονίους πᾶσα ἡ ξυμμαχία χωρήσῃ· τοὺς γὰρ Βοιωτοὺς ᾤοντο πεπεῖσθαι ὑπὸ Λακεδαιμονίων τό τε Πάνακτον καθελεῖν καὶ ἐς τὰς Ἀθηναίων σπονδὰς ἐσιέναι, τούς τε Ἀθηναίους εἰδέναι ταῦτα, ὥστε οὐδὲ πρὸς Ἀθηναίους ἔτι σφίσιν εἶναι ξυμμαχίαν ποιήσασθαι, πρότερον ἐλπίζοντες ἐκ τῶν διαφορῶν, εἰ μὴ μείνειαν αὐτοῖς αἱ πρὸς Λακεδαιμονίους σπονδαί, τοῖς γοῦν Ἀθηναίοις ξύμμαχοι ἔσεσθαι. ἀποροῦντες οὖν ταῦτα οἱ Ἀργεῖοι, καὶ φοβούμενοι μὴ Λακεδαιμονίοις καὶ Τεγεάταις, Βοιωτοῖς καὶ Ἀθηναίοις ἅμα πολεμῶσι, πρότερον οὐ δεχόμενοι τὰς Λακεδαιμονίων σπονδάς, ἀλλ' ἐν φρονήματι ὄντες τῆς Πελοποννήσου ἡγήσεσθαι, ἔπεμπον ὡς ἐδύναντο τάχιστα ἐς τὴν Λακεδαίμονα πρέσβεις Εὔστροφον καὶ Αἴσωνα, οἳ ἐδόκουν προσφιλέστατοι αὐτοῖς εἶναι, ἡγούμενοι ἐκ τῶν παρόντων κράτιστα πρὸς Λακεδαιμονίους σπονδὰς ποιησάμενοι, ὅπῃ ἂν ξυγχωρῇ, ἡσυχίαν ἔχειν.

THUCYDIDES V 40

### A2 *Freedom of speech has its dangers*

αἱ δὲ τοιαῦται πολιτεῖαι συνήθεις μέν εἰσιν ὑμῖν, αἴτιαι δὲ τῶν κακῶν. ἀξιῶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ἄν τι τῶν ἀληθῶν μετὰ παρρησίας λέγω, μηδεμίαν μοι διὰ τοῦτο παρ' ὑμῶν ὀργὴν γενέσθαι. σκοπεῖτε γὰρ ὡδί. ὑμεῖς τὴν παρρησίαν ἐπὶ μὲν τῶν ἄλλων οὕτω κοινὴν οἴεσθε δεῖν εἶναι πᾶσι τοῖς ἐν τῇ πόλει, ὥστε καὶ τοῖς ξένοις καὶ τοῖς δούλοις αὐτῆς μεταδεδώκατε, καὶ πολλοὺς ἄν τις οἰκέτας ἴδοι παρ' ἡμῖν μετὰ πλείονος ἐξουσίας ὅ τι βούλονται λέγοντας ἢ πολίτας ἐν ἐνίαις τῶν ἄλλων πόλεων, ἐκ δὲ τοῦ συμβουλεύειν παντάπασιν ἐξεληλάκατε. εἶθ' ὑμῖν συμβέβηκεν ἐκ τούτου ἐν μὲν ταῖς ἐκκλησίαις τρυφᾶν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούουσιν, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν ἐσχάτων ἤδη κινδυνεύειν. εἰ μὲν οὖν καὶ νῦν οὕτω διάκεισθε, οὐκ ἔχω τί λέγω· εἰ δ' ἃ συμφέρει χωρὶς κολακείας ἐθελήσετ' ἀκούειν, ἕτοιμος λέγειν. καὶ γὰρ εἰ πάνυ φαύλως τὰ πράγματ' ἔχει καὶ πολλὰ προεῖται, ὅμως ἔστιν, ἐὰν ὑμεῖς τὰ δέοντα ποιεῖν βούλησθε, ἔτι πάντα ταῦτα ἐπανορθώσασθαι.

κολακεύω: *flatter*

DEMOSTHENES IX 3–4

## SECTION B

*Translate:*

**B1** *Apollo challenges the new-born Hermes with knowing about his missing cattle*

"ὦ παῖ ὃς ἐν λίκνῳ κατάκειαι, μήνυέ μοι βοῦς
θᾶσσον· ἐπεὶ τάχα νῶι διοισόμεθ' οὐ κατὰ κόσμον.
ῥίψω γάρ σε λαβὼν ἐς Τάρταρον ἠερόεντα,
ἐς ζόφον αἰνόμορον καὶ ἀμήχανον· οὐδέ σε μήτηρ
ἐς φάος οὐδὲ πατὴρ ἀναλύσεται, ἀλλ' ὑπὸ γαίῃ
ἐρρήσεις ὀλίγοισι μετ' ἀνδράσιν ἡγεμονεύων."
τὸν δ' Ἑρμῆς μύθοισιν ἀμείβετο κερδαλέοισι·
"Λητοΐδη, τίνα τοῦτον ἀπηνέα μῦθον ἔειπας;
καὶ βοῦς ἀγραύλους διζήμενος ἐνθάδ' ἱκάνεις;
οὐκ ἴδον, οὐ πυθόμην, οὐκ ἄλλου μῦθον ἄκουσα·
οὐκ ἂν μηνύσαιμ', οὐκ ἂν μήνυτρον ἀροίμην·
οὐδὲ βοῶν ἐλατῆρι, κραταιῷ φωτί, ἔοικα.
οὐκ ἐμὸν ἔργον τοῦτο, πάρος δέ μοι ἄλλα μέμηλεν·
ὕπνος ἐμοί γε μέμηλε καὶ ἡμετέρης γάλα μητρὸς
σπάργανά τ' ἀμφ' ὤμοισιν ἔχειν καὶ θερμὰ λοετρά.
μή τις τοῦτο πύθοιτο, πόθεν τόδε νεῖκος ἐτύχθη·
καί κεν δὴ μέγα θαῦμα μετ' ἀθανάτοισι γένοιτο,
παῖδα νέον γεγαῶτα διὲκ προθύροιο περῆσαι
βουσὶν ἐπ' ἀγραύλοισι· τὸ δ' ἀπρεπέως ἀγορεύεις."

λίκνον: (here) *cradle*
μηνύω: *disclose*
σπάργανα: *baby clothes*

*Homeric Hymn to Hermes* 254–272

**B2** *Antigone contemplates her punishment at the hands of Creon for honouring her brother Polyneices' body*

ΑΝΤΙΓΟΝΗ

νῦν δέ, Πολύνεικες, τὸ σὸν
δέμας περιστέλλουσα τοιάδ' ἄρνυμαι.
καίτοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ.
οὐ γάρ ποτ' οὔτ' ἂν εἰ τέκν' ὧν μήτηρ ἔφυν
οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,
βίᾳ πολιτῶν τόνδ' ἂν ᾐρόμην πόνον.
τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;
πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν,
καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον,
μητρὸς δ' ἐν Ἅιδου καὶ πατρὸς κεκευθότοιν
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.
τοιῷδε μέντοι σ' ἐκπροτιμήσασ' ἐγὼ
νόμῳ, Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν
καὶ δεινὰ τολμᾶν, ὦ κασίγνητον κάρα.
καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβὼν
ἄλεκτρον, ἀνυμέναιον, οὔτε του γάμου
μέρος λαχοῦσαν οὔτε παιδείου τροφῆς,
ἀλλ' ὧδ' ἐρῆμος πρὸς φίλων ἡ δύσμορος
ζῶσ' ἐς θανόντων ἔρχομαι κατασκαφάς.

ἄρνυμαι: *win*

SOPHOCLES *Antigone* 902–920

**B3 Either** (*a*)

*ἀλλ᾽ ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο,*
*Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,*
*Ἑρμείας μὲν ἔπειτ᾽ ἀπέβη πρὸς μακρὸν Ὄλυμπον,*
*Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ᾽ αἶαν,*
*οἱ δ᾽ ἐς ἄστυ ἔλων οἰμωγῇ τε στοναχῇ τε*
*ἵππους, ἡμίονοι δὲ νέκυν φέρον. οὐδέ τις ἄλλος*
*ἔγνω πρόσθ᾽ ἀνδρῶν καλλιζώνων τε γυναικῶν,*
*ἀλλ᾽ ἄρα Κασσάνδρη, ἰκέλη χρυσέῃ Ἀφροδίτῃ,*
*Πέργαμον εἰσαναβᾶσα φίλον πατέρ᾽ εἰσενόησεν*
*ἑσταότ᾽ ἐν δίφρῳ, κήρυκά τε ἀστυβοώτην·*
*τὸν δ᾽ ἄρ᾽ ἐφ᾽ ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσι·*
*κώκυσέν τ᾽ ἄρ᾽ ἔπειτα γέγωνέ τε πᾶν κατὰ ἄστυ·*
*"ὄψεσθε, Τρῶες καὶ Τρῳάδες, Ἕκτορ᾽ ἰόντες,*
*εἴ ποτε καὶ ζώοντι μάχης ἒκ νοστήσαντι*
*χαίρετ᾽, ἐπεὶ μέγα χάρμα πόλει τ᾽ ἦν παντί τε δήμῳ."*
*ὣς ἔφατ᾽, οὐδέ τις αὐτόθ᾽ ἐνὶ πτόλεϊ λίπετ᾽ ἀνὴρ*
*οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος·*
*ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.*

HOMER *Iliad* XXIV 692–709

**or** (*b*)

ΑΓΑΜΕΜΝΩΝ

*Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ,*
*ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ,*
*μακρὰν γὰρ ἐξέτεινας· ἀλλ᾽ ἐναισίμως*
*αἰνεῖν, παρ᾽ ἄλλων χρὴ τόδ᾽ ἔρχεσθαι γέρας.*
*καὶ τἆλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ*
*ἅβρυνε, μηδὲ βαρβάρου φωτὸς δίκην*
*χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοί,*
*μηδ᾽ εἵμασι στρώσασ᾽ ἐπίφθονον πόρον*
*τίθει· θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών·*
*ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν*
*βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου·*
*λέγω κατ᾽ ἄνδρα, μὴ θεόν, σέβειν ἐμέ·*
*χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων*
*κληδὼν ἀυτεῖ· καὶ τὸ μὴ κακῶς φρονεῖν*
*θεοῦ μέγιστον δῶρον· ὀλβίσαι δὲ χρὴ*
*βίον τελευτήσαντ᾽ ἐν εὐεστοῖ φίλῃ.*
*εἰ πάντα δ᾽ ὣς πράσσοιμ᾽ ἄν, εὐθαρσὴς ἐγώ.*

AESCHYLUS *Agamemnon* 914–930

**or** (*c*)

*ἐπειδὴ δὲ κατεκλίνη, εἰπεῖν· ''εἶεν δή, ἄνδρες· δοκεῖτε γάρ μοι νήφειν. οὐκ ἐπιτρεπτέον οὖν ὑμῖν, ἀλλὰ ποτέον· ὡμολόγηται γὰρ ταῦθ' ἡμῖν. ἄρχοντα οὖν αἱροῦμαι τῆς πόσεως, ἕως ἂν ὑμεῖς ἱκανῶς πίητε, ἐμαυτόν. ἀλλὰ φερέτω, Ἀγάθων, εἴ τι ἐστὶν ἔκπωμα μέγα. μᾶλλον δὲ οὐδὲν δεῖ, ἀλλὰ φέρε, παῖ,'' φάναι, ''τὸν ψυκτῆρα ἐκεῖνον,'' ἰδόντα αὐτὸν πλέον ἢ ὀκτὼ κοτύλας χωροῦντα. τοῦτον ἐμπλησάμενον πρῶτον μὲν αὐτὸν ἐκπιεῖν, ἔπειτα τῷ Σωκράτει κελεύειν ἐγχεῖν καὶ ἅμα εἰπεῖν· ''πρὸς μὲν Σωκράτη, ὦ ἄνδρες, τὸ σόφισμά μοι οὐδέν· ὁπόσον γὰρ ἂν κελεύῃ τις, τοσοῦτον ἐκπιὼν οὐδὲν μᾶλλον μή ποτε μεθυσθῇ.''*

*τὸν μὲν οὖν Σωκράτη ἐγχέαντος τοῦ παιδὸς πίνειν· τὸν δ' Ἐρυξίμαχον ''πῶς οὖν,'' φάναι, ''ὦ Ἀλκιβιάδη, ποιοῦμεν; οὕτως οὔτε τι λέγομεν ἐπὶ τῇ κύλικι οὔτε τι ᾄδομεν, ἀλλ' ἀτεχνῶς ὥσπερ οἱ διψῶντες πιόμεθα;''*

*τὸν οὖν Ἀλκιβιάδην εἰπεῖν· ''ὦ Ἐρυξίμαχε, βέλτιστε βελτίστου πατρὸς καὶ σωφρονεστάτου, χαῖρε.'' ''καὶ γὰρ σύ,'' φάναι τὸν Ἐρυξίμαχον· ''ἀλλὰ τί ποιῶμεν;'' ''ὅτι ἂν σὺ κελεύῃς. δεῖ γάρ σοι πείθεσθαι·*

*ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων·*

*ἐπίταττε οὖν ὅτι βούλει.''*

PLATO *Symposium* 213e–214b